*Eusèbe de Césarée, Préparation évangélique, livre III, Chapitre 11*

Ἑκάτη δὲ ἡ σελήνη πάλιν, τῆς περὶ αὐτὴν μετασχηματίσεως καὶ κατὰ τοὺς σχηματισμοὺς δυνάμεως˙ διὸ τρίμορφος ἡ δύναμις, τῆς μὲν νουμηνίας φέρουσα τὴν λευχείμονα καὶ χρυσοσάνδαλον καὶ τὰς λαμπάδας ἡμμένας˙ ὁ δὲ κάλαθος, ὃν ἐπὶ τοῖς μετεώροις φέρει, τῆς τῶν καρπῶν κατεργασίας, οὓς ἀνατρέφει κατὰ τὴν τοῦ φωτὸς παραύξησιν˙ τῆς δ´ αὖ πανσελήνου ἡ χαλκοσάνδαλος σύμβολον. Ἢ καὶ ἐκ μὲν τοῦ κλάδου τῆς δάφνης λάβοι ἄν τις αὐτῆς τὸ ἔμπυρον, ἐκ δὲ τοῦ μήκωνος τὸ γόνιμον καὶ τὸ πλῆθος τῶν εἰσοικιζομένων εἰς αὐτὴν ψυχῶν ὥσπερ εἰς πόλιν, ὅτι πόλεως ὁ μήκων σύμβολον. Καὶ Εἰλείθυια δὲ ἡ αὐτή, τῆς γεννητικῆς δυνάμεως σύμβολον˙ τόξα δὲ φέρει καθάπερ ἡ Ἄρτεμις διὰ τὴν τῶν ὠδίνων ὀξύτητα.

*Hécate représente aussi la lune  à cause de ses transformations successives et de ses propriétés qui changent simultanément avec sa figure. Ces propriétés nous sont représentées sous trois formes différentes. Au temps de la nouvelle lune, on lui donne une robe blanche, une chaussure d'or et des torches allumées. Dans son croissant, lorsqu'elle commence à s'élever au-dessus de l'horizon, on lui fait porter un panier en signe de la maturité des fruits dont son influence favorise l'accroissement. Enfin au temps de la pleine lune, on lui donne une chaussure d'airain. Un rameau d'olivier vous représente son principe igné ; le pavot, sa vertu génératrice et la multitude d'âmes qui l'habitent comme une ville ; car le pavot est le symbole d'une ville. Comme Diane, elle est armée d'un arc pour représenter les douleurs aiguës de l'enfantement.*